# Η ΠΑΡΑΚΛΗΣΙΣ

ΔΙΑ ΤΗΝ ΠΑΥΣΙΝ ΤΗΣ ΠΑΝΩΔΟΥ ΝΟΣΟΥ 1749

ΣΥΝΕΤΑΧΘΗ Η ΠΑΡΟΥΣΑ ΔΑΠΑΝΗ
ΤΟΥ ΚΛΗΡΟΥ ΤΟΥ ΔΗΜΟΥ
ΛΕΥΚΑΔΟΣ

ΕΝ ΛΕΥΚΑΔΙ
ΤΥΠΟΓΡΑΦΕΙΟΝ Ο ΠΙΝΔΟΣ.
Γ. ΧΡΙΣΤΟΔΟΥΛΟΠΟΥΛΟΥ.

1866.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ
781
4/554

# ΜΗΝ ΙΟΥΝΙΟΣ Α΄.

## Κανὼν εὐχαριστήριος καὶ ἱκετικός πρὸς Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ψαλλόμενος τῇ α΄. Ἰουνίου μηνός, εἰς ἀΐδιον μνήμην τῆς παντελοῦς ἀπαλλαγῆς τῆς Νήσου Λευκάδος ἀπὸ τῆς πανώλους νόσου ἐπὶ ἔτους αψμδ΄. κατ᾽ αὐτὴν τὴν προγραφεῖσαν ἡμέραν.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. . . Κύριε εἰσάκουσον κτλ.

Θεὸς Κύριος . . κτλ. Τῇ Θεοτόκῳ ἐκτινῶς . . .

Δόξα, καὶ νῦν. Οὐ σιωπήσωμεν ἀεί.

Ὁ Ν΄. καὶ εὐθὺς οἱ παρόντες Κανόνες.

ΩΔΗ α΄. ἦχος δος. ὁ εἱρμὸς εἰς δ΄.

Δεῦτε λαοὶ ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ τῷ διελόντι θάλασσαν καὶ ὁδηγήσαντι τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων ὅτι δεδόξασται.

Δεῦτε πιστοὶ, σήμερον χεῖρας κροτήσωμεν, καὶ εὐφρανθῶμεν ἅπαντες, ὅτι ἐῤῥύσθημεν, νόσου τῆς πανωλέθρου, δυνάμει τοῦ δεσπότου, ἡμᾶς λυτρώσαντος.

Λαμπροφανῶς, ἡ νῆσος πᾶσα νῦν γήθεται, καὶ τῆς χαρᾶς τὰ σύμβολα, πᾶσιν ἐνδείκνυται, Ἱερέων συλλόγοις, λαοῦ τε ὁμηγύρει, Θεῷ προστρέχουσα.

Ἔγνωμεν νῦν, πόσον οἰκτίρμων καὶ εὔσπλαγχνος, πέλεις Θεὲ φιλάγαθε, καὶ γὰρ διέσωσας, τοῦ πανώλους θανάτου, τὴν πόλιν καὶ λαόν σου τὸν σὲ δοξάσαντα.

Σὺ τῶν πιστῶν, σκέπη ὑπάρχει πανάμωμε, κινδυνευόντων λύτρωσις, καὶ τὸ διάσωσμα τῶν εἰς σὲ προστρεχόντων. Διόπερ ἡμᾶς φρούρει τῇ μεσιτείᾳ σου.

Ἕτερος κανὼν εἰς τὴν Ὑπεραγίαν
Θεοτόκον. Ὠδὴ ά. ἦχος δ'.
Ἀνοίξω τὸ στόμα μου.

Ἀνοίξει τοῦ στόματος, τὸν νοῦν μου κόρη χαρίτωσον, ὑμνῆσαι προθύμως σε, προελομένῳ τανῦν, καὶ συντήρησον ἐκ πάσης με κακίας, πανύμνητε δέσποινα τὸν σοὶ προστρέχοντα.

Βασίλισσα πέφυκας τοῦ οὐρανοῦ καὶ γῆς ἄχραντε, διὸ βασιλεύειν με τῶν τῆς σαρκὸς ἡδονῶν, σὺ ἐνίσχυσας, καὶ ἄνω βασιλείας, οἰκήτορα ποίησον, ὅπως δοξάζωσε.

Δόξα.

Γινώσκομεν δέσποινα, τὸ ἀνεξάντλητον πέλαγος, τῆς θείας σου χάριτος, ἣν ἐπλημμύρησας, τοῖς προσρέξασι, τῇ μητρικῇ σου σκέπῃ· διὸ μεγαλύνομεν τὴν δυναστείαν σου.

Καὶ νῦν.

Δικαίων τὰ τάγματα, καὶ προφητῶν τὰ συστήματα, τὴν μόνην ἀμώμητον ἐγκωμιάσατε, καὶ συνέλθητε ἡμῖν ὑμνολογῆσαι, τὴν ἄμαχον δύναμιν τῆς θεομήτορος.

Ὠδὴ γ'. ὁ εἱρμός.

Στεραίωσον ἡμᾶς, ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Τῷ φόβῳ σου ἡμᾶς, στήριξον Κύριε, ὁ φόβον ἐ-



ξώσας πονώλους νόσου, καὶ ποιεῖν τὰ σὰ προστάγματα ἀένως σοῖς δούλοις ἐνδυνάμοσον.

Ἀνάπαυσον Χριστὲ, τὰς ψυχὰς τῶν δούλων σου, ἐν τόποις ἀνέσεως, καὶ τὰ τούτων παραβλέψας ὀφειλήματα, παραδείσου οἰκήτορας ἀνάδειξον.

Ἐκκλίνωμεν κακῶν οἱ ἁμαρτήσαντες, ποιοῦντες τῆς θείας νομοθεσίας, καὶ Χριστῷ πάντες προσέλθωμεν, βασιλείας τῆς ἄνω ἵνα τύχωμεν.

Ἀγγέλων καὶ βροτῶν, ὑπάρχεις δέσποινα, παρθένε τὸ καύχημα καὶ μαρτύρων, ἀληθῶς τὸ ἐγκαλώπισμα καὶ ἁπάντων πιστῶν τὸ περιτείχισμα.

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἐπέλαμψε σήμερον ἡμέρα, ἐν ᾗ μεσιτείαις ἱεραῖς παρθένου ἐλυτρώθημεν, νόσου τῆς πανολέτειρος διὸ ψυχῆς εὐθύτητι, ταύτην οἱ πάντες ὑμνήσωμεν.

Ζηλώσωμεν τρόπους μετανοίας, παντοίων ἀπέχοντες κακῶν, καὶ τῷ Θεῷ προσέλθωμεν, κεκοσμημένοι ἅπαντες, ταῖς ἀρεταῖς τὴν δέσποιναν, αὐτῷ μεσίτιν προβάλλοντες.

Δόξα.

Ἡ μόνη καὶ μήτηρ καὶ παρθένος, γνωσθεῖσα πανύμνητε ἁγνὴ, ὥσπερ ἡμᾶς ἐλύτρωσας, τῆς νόσου τῇ πρεσβείᾳ σου οὕτως υἱοὺς ἀνάδειξον, τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ ἡμῶν.

Καὶ νῦν.

Θεὸν συλλαβοῦσα καὶ τεκοῦσα, ἀνάνδρως μητρόθεε σεμνὴ, τὴν πόλιν ταύτην φύλαττε, ἐκ πάσης βλάβης πάντοτε, τῇ σκέπῃ σου προστρέχουσαν, καὶ εὐσεβῶς σὲ δοξάζουσαν.

Ὠδὴ δ'. ὁ εἱρμός.

Ἐλήλυθας ἐκ παρθένου, οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, ὅλον

με τὸν ἄνθρωπον· διὸ κραυγάζωσι δόξα τῇ δυνάμει σου Κύριε.

**Δ**ιέσωσας ἐκ θανάτου, πικροῦ τοὺς οἰκέτας σου, ὅθεν πάντες σήμερον, εὐχαριστοῦμεν σοι κύριε, καὶ ἐκ καρδίας κράζομεν, σοὶ τῷ μόνῳ Θεῷ, καὶ σωτῆρι πρέπει αἴνεσις.

**Τ**ὴν μνήμην τῆς σωτηρίας, καλῶν ἀποδείξωμεν γενομένην πρόξενον, τὰς ἀρετὰς ἐργαζόμενοι, καὶ μὴ ἐπιλησώμεθα, δωρεᾶς τοῦ Θεοῦ, ῥυσαμένου τῆς θανάτου φθορᾶς.

**Σ**υνάγαγε πάσης χώρας, καὶ γῆς ὁ φιλάνθρωπος, οὓς ἀποσκοράκισε ἡ πανδαμάτωρ καὶ ἔντρομος νόσος, καὶ κατεκόσμησε πάλιν νῆσον ἀνθρώπων ὑμνούντων τὸ κράτος αὐτοῦ.

**Φ**θορᾶς ὥσπερ ἄνευ κόρη τὸν λόγον γεγέννηκας, οὕτω καὶ τοὺς δούλους σου, πάσης φθορᾶς ἐλευθέρωσον, τοὺς ἐπὶ σὲ ἐλπίζοντας καὶ ψυχῇ καὶ καρδίᾳ τὸν τόκον σου δοξάζοντας.

Ἄλλος. — Τὴν ἀνεξιχνίαστον.

**Ἴ**δε ἡ παρθένος νῦν, ἣν Ἰακὼβ κλίμακα ἐκ γῆς πρὸς οὐράνια, εκτεταμένην καὶ ἀγγέλοις καὶ βροτοῖς, τὴν μίξιν προξενήσασαν, πάλαι προεώρα θειώτατα.

**Κ**λῖνον μητροπάρθενε, οὔς σου ἡμῖν τοῖς προσκαλουμένοις σε πάντοτε, καὶ μὴ ἀπώσῃ τὰς φωνὰς σῶν οἰκετῶν, ἀλλὰ ταύτας προσάγαγε, τῷ υἱῷ σου κόρη Θεόνυμφε.

**Λ**ῦσον τῇ πρεσβείᾳ σου, πάντα δεσμὸν, τὸν ἐξ ἁμαρτίας τῶν δούλων σου, ἀρὰν τῆς Εὔας, ὡς κυήσασα Χριστὸν μόνη παρθένε ἔλυσας, καὶ τὴν ἁμαρτίαν ἠφάνισας.

**Μ**όνην σε γινώσκοντες καταφυγὴν, ὑπὸ τὴν σὴν σκέπην οἱ σύμπαντες, προσπεφευγότες, βασιλείας οὐρανῶν, ἐπιτυχεῖν ἐλπίζομεν, διὰ σοῦ παρθένε πανάμωμε.



Ὠδὴ ε'. Ὁ εἱρμός.

**Ὁ** τοῦ φωτὸς χορηγὸς, καὶ τῶν αἰώνων ποιητὴς κύριος, ἐν τῷ φωτὶ τῶν σῶν προσταγμάτων ὁδήγησον ἡμᾶς, ἐκτός σου γὰρ ἄλλον Θεὸν οὐ γινώσκομεν.

**Ἔ**ργοις καλοῖς ἀδελφοὶ τῷ παντεπόπτῃ νῦν πλησιάσωμεν, πάντες ἡμεῖς, ἐνθέως βιοῦντες, καὶ ὕμνοις τὴν αὐτοῦ εὐσπλαγχνίαν αἰνοῦντες, καρδίας εὐθύτητι.

**Ἡ**μέρα ἀληθῶς, ἔνδοξος ἡ νῦν αὕτη ἡμέρα, πάντων ἡμῶν ῥυσθέντων θανάτου· διὸ καὶ μνήμην τῆς χάριτος αὐτῆς τελοῦμεν γηθόμενοι.

**Χ**αρμονικῶς οἱ πιστοὶ, συνελθόντες ἐκβοήσωμεν κυρίῳ, πόθῳ ψυχῆς καὶ φόβῳ καρδίας, ῥῦσαι ἡμᾶς ἀγαθὲ πάσης βλάβης, ὡς μόνος φιλάνθρωπος.

**Λ**ύπην τῆς Εὔας τὸ πρὶν, ἡ σκεδάσασα, Χριστὸν ἀποτεκοῦσα, πᾶσαν λύπην, ἡμῶν τῶν σῶν δούλων, ἐκδίωξον σεμνὴ. καδίαςἀπάσης, καὶ σῶσον πανύμνητε.

Ἄλλος. — Ἐξέστη τὰ σύμπαντα.

**Ν**ικᾷν ἡμᾶς πάντοτε, τὰς μηχανὰς τοῦ Δράκοντος, πάντας ὑπερίσχυσον παρθένε, λυτρωσαμένη τῆς τοῦ θανάτου φθορᾶς καὶ δωρησαμένη τὴν ζωὴν, μόνη πανύμνητε.

**Ξ**ενώσωμεν ἄνθρωποι, ἁμαρτιῶν τὰ πνεύματα, καὶ ᾠκειωθῶμεν τῷ σωτῆρι, διὰ τῶν ἔργων εὐαρεστοῦντες αὐτῷ, καὶ λοιμοῦ καὶ πάπης ἀπειλῆς, πάντας ῥυσθησώμεθα, ταῖς λιταῖς Θεομήτορος.

**Ὁ** πάσης ἐπέκεινα, καὶ δόξης τε καὶ κτίσεως, κύριος ὑπάρχων τε καὶ κτήσεως, μήτραν ὑπέδυ τὴν σὴν πανάχραντε, μεγαλεῖα πάντως ἐπὶ σοὶ, δείξας τὰ ἐξαίσια ὡς σὺ ἔφης Θεόνυμφε.

**Π**ρὸς σὲ πάντες τρέχομεν, μετὰ Θεὸν πανύμνητε, πλείστοις ἁμαρτήμασι τὸν πλάστην, καὶ τοκετόν σου.

ὡς παροργίσαντες, καὶ σὲ προβαλλόμεθα ἀεὶ πρέσβυν ἀμετάθετον, καὶ φρουρὸν ἀκαταίσχυντον.

ᾠδὴ ς'. ὁ Εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων, κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τὰς ψυχὰς τῶν σῶν φίλων ἀνάπαυσον Ἱερέων φίλων τε καὶ συγγενῶν ἡμῶν, πάντων κοινῶς δεόμεθα, τῶν πρὸς σὲ μεταστάντων πολυέλεε.

Κυριεύων ἁπάσης τῆς κτίσεως, ἀτυχίας λύτρωσαι πάσης τοῖς δούλοις σου, καὶ οὐρανῶν ἀξίωσον, βασιλείας ὡς μόνος φιλάγαθος.

Ἐκτελέσωμεν νόμον δεσπόζοντος, καὶ ἐπὶ καθέδρα λοιμῶν μὴ καθίσωμεν, ὅπως λοιμοῦ ῥυσθείημεν, καὶ κακώσεως πάσης, αὐτῷ ἐγγίζοντες. Θ'.

Μακαρίσωμεν πάντες τὴν ἄνασσαν, τὴν ἀειμακάριστον καὶ μητροπάρθενον, καὶ εὐσεβῶς βοήσωμεν, χαῖρε, πάντων ἀθρώπων ἡ ἀντίληψις.

Ἄλλος — τὴν θείαν ταύτην καὶ πάντιμον.

Ῥυσθέντες νόσου οἱ σύμπαντες, πρεσβείαις τῆς ἁγνῆς θεομήτορος ὑμνολογήσωμεν, ταύτης τὸ κράτος τὸ ἄμαχον, τῷ ἐξ αὐτῆς τεχθέντι, Θεῷ ἐγγίζοντες.

Σωμάτων λοίμης ὡς ἔσωσας ταῖς θείαις ἱκεσίαις σου ἅπαντας, οὕτω πανύμνητε, καὶ τὰς ψυχὰς ἡμῶν λύτρωσαι ἰοῦ τῆς ἁμαρτίας τοῦ ψυχολέτειρος.

Τιμῆς ἁπάσης ἐπέκεινα, ὑπάρχεις παναγία θεόνυμφε τοὺς οὖν τιμῶντάς σε, ὡς δυνατὸν ἐλευθέρωσον πάσης φθορᾶς, καὶ θείας τιμῆς ἀξίωσον.

Ὑμνεῖν ἀξίως τὴν χάριν σου, χαρίτωσον τοὺς πίστει προστρέχοντας τῇ θείᾳ σκέπῃ σου, καὶ πάσης βλάβης ἀπάλλαξον, νόσου τε καὶ κινδύνων, κόρη πανύμνητε.

Ὠδὴ ζ'. ὁ Εἱρμός.

Εἰκόνος χρυσῆς, ἐν πεδίῳ δεηρὰ λατρευομένης, οἱ τρεῖς σου παῖδες κατεφρόνησαν ἀθεωτάτου προστάγμα-



τος, μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ποιμὴν ὁ καλὸς, τοῦ παρόντος νῦν ποιμένος ἱκεσίαις, προηγουμένου τῆς συνάξεως, τὴν πόλιν ταύτην συντήρησον, πάσης ἐπηρείας καὶ βλάβης, ταῖς λιταῖς ἱλεούμενος τῶν ἱερέων καὶ λαοῦ, τοῦ σὲ ὑμνοῦντος πιστῶς.

Λαὸν Ἰσραὴλ, ὡς διέσωσας λοιμοῦ τῇ καταπαύσει, τοῦ Δαβὶδ τότε εὐξαμένου, καὶ τὸ ἡμάρτηκά σοι βοήσαντος, οὕτω καὶ ἡμᾶς τοὺς δούλους σου, ἀπελύτρωκράζοντας, σὺ εἶ Θεὸς καὶ λυτρωτὴς, τῶν πεποιθότων πρός σέ. Θ'.

Σὲ τεῖχος πιστοὶ, καὶ φρουρὸν μετὰ Θεὸν πεπλουτηκότες, πᾶσαν θλῖψιν ὁμοῦ τε καὶ ζάλην, τῶν δυσχερῶν ἀποφεύγομεν, καὶ τῆς βασιλείας τῆς ἄνω, κληρουχίαν ἐλπίζομεν· σὺ γὰρ ἀνθρώπων ἡ ἐλπίς, καὶ τῶν ἀγγέλων χαρά.

Ἄλλος — οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Φωτεινόμορφον παλάτιον Θεόνυμφε, τοῦ λόγου πέλουσα τῶν σὲ ὑμνούντων πιστῶς, καρδίας νῦν φώτισον, ἀεὶ τοῦ κράζειν σοι, χαῖρε πάναγνε, δι' ἧς σκότη διώκομεν, ἁμαρτίας σαῖς πρεσβείαις.

Χαῖρε κόσμου ἱλαστήριον πανάμωμε, χαῖρε θεόνυμφε, ἡ φλογοφόρος λαβὶς, ὁ πόκος ὁ ἔνδροσος, θρόνος ὁ πάγχρυσος, χαῖρε δέσποινα, τῶν προφητῶν τὸ κήρυγμα, τῶν πιστῶν ἡ χαρμοσύνη.

Ψάλλειν πάντας καταξίωσον μητρόθεε, ὕμνον σωτήριον, τῷ σῷ υἱῷ καὶ Θεῷ, τῷ νῆσον λυτρώσαντι φθορᾶς καὶ θλίψεως, καὶ προστρέχειν σου τῇ σκέπῃ παναμώμητε, μετὰ πάσης εὐλαβείας.

Ὢ παγύμνητε, ἀγγέλων σεμνολόγημα, βροτῶν τὸ καύχημα, ἡ τῶν χαρίτων πηγὴ, τὸν ὕμνον χαρίτωσον, ὃν σοὶ προσφέρομεν, καὶ συγχώρησιν ἁμαρτημάτων αἴτησαι, τῇ σῇ θείᾳ μεσιτείᾳ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν ἑβραίων τοῖς παισὶ συγκαταβάντα, καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐκλυτρωθέντες τῆς δεινῆς, καὶ λοιμώδους εὐσεβεῖς πανωλεθρίας, τῷ Θεῷ δόξαν δῶμεν, τῷ ῥυσαμένῳ ἡμᾶς, προνοίᾳ τῇ θείᾳ, καὶ αὖθις τῆς γῆς οἰκήτορας ταύτης, τῆς πόλεως δείξαντι.

Εὐχαριστοῦμέν σοι ἀεὶ, μεγαλύνοντες σὴν ἄκραν εὐσπλαγχνίαν, καὶ αἰνοῦντες βοῶμεν· Θεὲ σῶζε ἡμᾶς, πάσης ἀπιούσης ἀνάγκης κύριε, ἀνυμνολογοῦντες τό σὸν ἄμαχον κράτος.

Ἀλλοιωθέντες ἀρεταῖς, διὰ πράξεως ἁγνῆς καὶ πολιτείας, ἐνδυσώμεθα πάντες, νῦν τὰ ὅπλα τοῦ φωτὸς, πάντα τὰ ἔργα τοῦ σκότους ἐλαύνοντες, αὕτη γὰρ ὑπάρχει ἀλλοίωσις κυρίου. Θ'.

Χαῖρε αἰτίας ἡ χαρὰ, χαῖρε λύπης ἡ ἀναίρεσις παρθένε, χαῖρε πάγκαλε νύμφη, τῶν περάτων ἡ ἐλπὶς, τοὺς πρὸς σὲ θερμῶς πεποιθότας, σῶζε κόρη πάντας, σαῖς μητρικαῖς πρεσβείαις.

## Ἄλλος τῆς Θεοτόκου.

### Ἐν ταύταις δὲ ταῖς δυο ᾠδαῖς ἐστι καὶ ἀκροστιχὶς ἐντὸς τῶν τροπαρίων.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

ΙΘΙ ἀῤῥωγὸς τοῖς ἀνυμνοῦσι, σὲ πάναγνε πόθῳ καὶ δοξάζουσι, σκέπην σου τὴν ἔνθεον, ὥσπερ νόσου ἔσωσας, τοὺς προστρέχοντας πανύμνητε τῇ μεσιτείᾳ σου, ἀνύμφευτε Μαρία παρθένε, ἡ δεδοξασμένη εἰς πάντας τοὺς αἰῶνας

Νεῦσον ταῖς δεήσεσι παρθένε, τῶν δούλων σου τῶν μακαριζόντων σε, ὕμνοις καὶ δεήσεσι νέαν τε ἀξίωσον, πολιτείαν δείκνυσθαι τῷ σῷ υἱῷ καὶ Θεῷ· ἡ μόνη τῶν εἰς σὲ προστρεχόντων, οὖσα Θεοτόκε, ἐλπὶς καὶ προστασία.



Σὲ μετὰ Θεὸν ἔχομεν πάντες, οἱ πίστει τῇ σκέπῃ σου προστρέχοντες, τεῖχος ἀσφαλέστατον ἱερόν τε στήριγμα προστάτην ἀκατέσχυντον, ὦ μητροπάρθενε· διὸ σὲ ἀνυμνοῦμεν ἀξίως, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἔσωσας ἡμᾶς ἐκ τοῦ θανάτου, πανύμνητε θείαις ἱκεσίαις σου, καὶ ἡμᾶς ἠλέησας· ῥύστιν ὅθεν πάντες σὲ παρθένε ἐπιγράφομεν, ταύτης τῆς πόλεως· ἐλέους τε πηγὴν καὶ προστάτην, τῶν πρὸς σέ βοώντων, εὐθύτητι καρδίας.

Ὠδὴ Θ'. ὁ εἱρμός.

Τὸν ἐκ Θεοῦ Θεὸν λόγον, τὸν ἀῤῥήτῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀδὰμ, βρώσει φθορᾶς πεπτωκότα δεινῶς, ἐξ ἁγίας Παρθένου, ἀφράστως σαρκωθέντα δι' ἡμᾶς, οἱ πιστοὶ ὁμοφρόνως ἐν ὕμνοις μεγαλύνομεν.

Λαμπροφορήσωμεν πάντες, τῇ παρούσῃ ἡμέρᾳ, ἐν ᾗ ἐῤῥύσατο ἡμᾶς ὁ Θεὸς, τῆς φθορᾶς τοῦ θανάτου παρ' ἐλπίδα· καὶ ψυχῇ καὶ καρδίᾳ, συμφώνως μεγαλύνομεν αὐτοῦ, τὸ ἀνείκαστον κράτος, ἐν ὕμνοις καὶ δεήσεσι.

Ἀμαξικῆς νῦν ἡ πόλις, μετὰ τῆς νήσου ἁπάσης, τῶν Λευκαδίων γήθεται φαιδρῶς, συγκαλοῦσα τῇ χαρᾷ τὰς πέριξ νήσους, συνευφραίνεσθαι ταύτῃ. καὶ ᾄδειν χαριστήριον ᾠδὴν, τῷ Θεῷ τῶν ἁπάντων, τῷ ταύτην διασώσαντι.

Ἔαρ εὐφρόσυνον πᾶσιν, ἀνατέταλκεν ὄντως τῇ ἐπιφαύσει ἤδη τῆς λαμπρᾶς, καὶ πανδήμου τῆς συνάξεως ἡμέρας. Ἐν ᾗ πάντες ὑμνοῦμεν τὴν ἄκραν εὐσπλαγχνίαν τοῦ Θεοῦ τοῦ ἡμᾶς ῥυσαμένου λοιμοῦ πανώλους ἅπαντας.

Θεοκυῆτορ παρθένε, γηγενῶν εὐκληρία, χαῖρε τοῦ κόσμου ἡ ἐλπίς σεμνὴ, χαῖρε μόνη γυναιξὶν εὐλογημένη τοὺς τιμῶντας σε σῶζε, ἐκ πάντων τῶν τοῦ βίου δυσχερῶν, κἀμοὶ δίδου συγγνώμην, τὸν ὕμνον ἐξυφάναντι.

## Ἄλλος τῆς Θεοτόκου.

Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι.

Ὕμνον σοι πιστῶς, προσφέρομεν πάναγνε Θεοχαρίτωτε. Σὺ γὰρ ταῖς πρεσβείαις σου, νόσου πανώλους, πάντας διέσωσας, καὶ πάλιν εἰς τὰ ἴδια ἤθροισας. Ὅθεν πάντες, σὲ ἁγνὴ δοξάζομεν καὶ ψυχῇ καὶ καρδίᾳ γηθόμενοι.

Ἔλυσας ἀρὰν, προμήτορος δέσποινα, Χριστὸν κυήσασα, ξένοις τρόποις φύσεως, θεσμοῖς βροτείου μὴ ὑποκύψασα, παρ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

θένος γὰρ ὡς πρότερον ὑπῆρχες ἔμεινας· διὰ τοῦτο πάντες σὲ δοξάζομεν, προσκυνοῦντες ἀξίως τὸν τόκον σου.

Ἅπασαι τῆς γῆς φυλαὶ μεγαλύνουσι, βροτῶν σὲ πάναγνε, μῆτερ ὡς προέφησας· ῥῆσιν σου θείαν ἔργοις ἀνύουσαι, καὶ γὰρ ἐν σοὶ ἐσκήνωσεν ὁ ποιητὴς τοῦ παντός, Χερουβὶμ σε μείζω ἐνδειξάμενος, καὶ τῶν ἄλλων ταγμάτων ὑπέτρερον.

Ὄνομα σεπτόν, καὶ πρᾶγμα ὑπάρχουσα, κόρη θεόνυμφε, Σὲ τὸν μεγαλύναντα, καὶ ἔργον τοῦτο, κλίσει σφραγίσαντα. ἐπωνυμία τάξει τε, ἀεὶ διάσωζε, τοῦ βελίαρ ἔνεδρα σκεδάζουσα τοκετῷ τε, τῷ σῷ προσεγγίζουσα.

Ὁ Εἱρμὸς τῶν Ὠδῶν. «Τὸν ἐκ Θεοῦ Θεὸν λόγον.

Εἶτα ψάλλεται τό, ἄξιον ἐστὶν ὡς ἀληθῶς.

Καὶ τὰ λοιπὰ μεγαλυνάρια τῆς κοινῆς παρακλήσεως τῆς Θεοτόκου.

Πρὸς δὲ τούτοις τὰ παρόντα εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Εγνωμεν τοὺς θείους σου οἰκτιρμούς, δέσποτα τῶν ὅλων οὓς ἐξέχεας ἐφ' ἡμᾶς, νόσου ἐκδειώξας, τῆς νήσου τῷ σῷ, κράτει. Διὸ εὐχαριστοῦντες, σὲ μεγαλύνομεν.

Ἕτερον εἰς τὴν Θεοτόκον.

Πάναγνε παρθένε χριστιανῶν, μόνη προστασία, τὴν τιμῶσαν σε εὐσεβῶς, πόλιν τήν δε τήρει, λοιμοῦ καὶ πάσης ζάλης, πρὸς σὲ μετὰ Θεὸν γάρ, πάντες ἐλπίζομεν.

# ΕΤΕΡΑ ΜΕΓΑΛΥΝΑΡΙΑ.

## τῶν ἁγίων Τιμοθέου καὶ Μαύρας.

Ερωτι τρωθέντες τῷ τοῦ Χριστοῦ, ἤρθηται ἐν ξύλῳ τῶν μαρτύρων ἡ καλλονή, τρισόλβιον ζεῦγος, καὶ τῆς νήσου προστᾶται, Τιμόθεε καὶ Μαῦρα, ταύτην φυλάξατε.

Ζεῦγος Ἱερώτατον καὶ σεπτόν, ξηνορίδα θεία, τοὺς τιμήσαντας τὸν Χριστόν, προφρόνος ἐν ἄθλοις, Τιμόθεε σὺν Μαύρα, ὁμόφρονι συζήγῳ, ἡμᾶς γερέροντες



Ὁ Ἀπόστολος ἐφεξῆς.

Προκείμενον τοῦ Ἀποστόλου ἦχος 6.

» Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος ςχ.

» παιδεύων ἐπαίδευσέ με ὁ κύριος

Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, δικαιωθέντες ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεόν, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ· οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν εἰδότες, ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει· ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ, ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν, διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν· ἔτι δὲ Χριστός, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρόν, ὑπὲρ ἀσεβῶν ἀπέθανε· μόλις γὰρ ὑπὲρ δικαίου τὶς ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ, τάχα τις καὶ τολμᾷ ἀποθανεῖν· συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός· ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε· πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς· εἰ γὰρ ἐχ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

θρὸς ὄντες, κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλαγέντες σωθησώμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

Καὶ τῆς Θεοτόκου. Ζήτει εἰς τὸν Εὐαγγελισμόν.

Ἀδελφοὶ ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες·

Εἶτα τὸ Εὐαγγέλιον. Εἰς πᾶσαν αἴτησιν. Σαββάτῳ τῆς Χαναναίας.

Ἐκ τοῦ κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην, κριτής τίς ἦν ἔντινι πόλει. φύλ. **120**.

Τῆς Θεοτόκου. Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα Μαριάμ.

Εἶτα τὴν αἴτησιν. Ὁ Ἱεροδιάκονος.

Ἐλέησον ἡμᾶς ὁ Θεός.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους·

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης, καὶ αἰωνίου ἀναπαύσεως τῶν ψυχῶν τῶν ἐκ τῆς πανώλους νόσου προαναπαυθέντων δούλων τοῦ Θεοῦ, ἐν τῇ νήσῳ καὶ πόλει ταύτῃ, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὸν ἅγιον οἶκον τοῦτον τὴν νῆσον καὶ πόλιν ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς λοιμοῦ, λιμοῦ.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι κύριον τὸν Θεόν.

Ὁ Ἀρχιερεύς.

Ἐπάκουσον ἡμῶν ὁ Θεός. Καὶ τὰ ἑξῆς.

Εἶτα τὴν παροῦσαν εὐχήν.



## Εὐχὴ εὐχαριστήριος καὶ ἱκετικὴ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Τοῦ Κυρίου δεηθῶμεν.

Εὐχαριστοῦμέν σοι τῷ σωτῆρι ἡμῶν Θεῷ, βασιλεῖ τῶν ἁπάντων, ὅτι ἐρρύσω πάντας ἡμᾶς τῆς τοῦ θανάτου φθορᾶς, τῇ παντουργικῇ δεξιᾷ σου καὶ τὴν μέχρις ᾅδου τῇ πανώλει νόσῳ, καταβᾶσαν πόλιν ἡμῶν ἀνύψωσας θεϊκῇ εὐσπλαγχνίᾳ. Εὐχαριστοῦμέν σοι, ὅτι παρ' ἐλπίδα πᾶσαν Ἰασάμενος τὰ συντρίμματα ἡμῶν, συνήγαγες αὖθις ἡμᾶς, καὶ ταύτην τὴν γῆν κατεκόσμησας ἀνθρώπων, τὸ σὸν κράτος αἰνούντων. Καὶ νῦν πανάγαθε Δέσποτα, ἡ πηγὴ τῶν ἀγαθῶν, ὁ ἀφθονοπάροχος ποταμὸς τοῦ ἐλέους, ὁ παιδεύων καὶ μὴ θανατῶν, ὁ τοὺς καταπίπτοντας ἀνορθῶν, καὶ τὰς σωματικὰς θλίψεις διορθούμενος τῶν ἀνθρώπων, ἐπάκουσον τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ὡς εὐῶδες θυμίαμα πρόσδεξαι προσαγόμενόν σοι· καὶ προσδεξάμενος εὐμενῶς, ἀνάπαυσον δεόμεθα ἐν σκηναῖς τῶν ἐκλεκτῶν, τὰς ψυχὰς τῶν διὰ τῆς λοιμώδους φθορᾶς ἐξ ἡμῶν μεταστάντων, φίλων ὁμοῦ καὶ συγγενῶν, Ἱερέων, Ἱερομονάχων, παίδων, νεανίσκων, πρεσβυτέρων τῶν ἐκ πάσης ἡλικίας σχεδὸν, γῆς τε καὶ μετοικεσίας, τῶν τότε παρατυχόντων. Διατήρησον ὡς συμπαθὴς καὶ εἰς τὸ ἑξῆς, ἀπὸ πάσης βλάβης λοιμοῦ, λιμοῦ, σεισμοῦ, ἀνομβρίας, καταποντισμοῦ, δεσποτείας βαρβάρων, ἀλληλομαχίας ἀσπόνδου, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, τὴν τῷ σῷ ἁγίῳ ὀνόματι εὐσεβῶς πεποιθῶσαι πόλιν καὶ νῆσον· καὶ μὴ δώῃς φιλάγαθε ταύτην δι' οἶκτον, εἰς τέλος ἐλθεῖν τῶν κακῶν, μὴ ἀπολείᾳ παντελεῖ παραπέμψῃς· μὴ Δέσποτα πανάγιε, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀφ' ἡμῶν, μηδὲ ἀκύρους ποιήσῃς τὰς δεήσεις τῶν ἱκετῶν σου, ὁ δι' ἄκραν ἀγαθότητα ἐπικαμπτόμενος ἀεὶ, καὶ διδοὺς ὑπὲρ ἐκ περισοῦ τοῖς χρήζουσιν, ὧν αἰτοῦσιν, ὡς ἀφθονοπάροχος τῶν ἀγαθῶν χορηγὸς, καὶ Θεὸς τῶν ἁπάντων. Μνήσθητι, ὅτι ἔργα χειρῶν σου πάντες ἡμεῖς, καὶ τὸ ὄνομά σου ἐπικαλούμεθα πανοικτίρμων· διὰ τοῦτο ὡς ἀμνησίκακος, ἐπιλαθόμενος τῶν ἁμαρτιῶν ἡμῶν, δι' ὧν τῷ τοιούτῳ ὀλεθρίῳ, σοῖς δικαίοις ζυγοῖς κατεδικάσθημεν θανάτῳ, κατάβαλλε πᾶσαν πονηρὰν μηχανὴν τοῦ ἐχθροῦ, καθ' ἡμῶν κινουμένην· ἀποδίωξον πᾶσαν ἀῤῥωστίαν καὶ ἀ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

σθένειαν ἀφ' ἡμῶν, τῷ πανσθενεστάτῳ σου κράτει, καὶ μὴ ὀλιγοστούς ἡμᾶς, σῶτερ, ποιήσῃς, παρὰ πᾶσαν τὴν γῆν τῶν ἐπὶ σοὶ πεποιθότων. Ἐκνικάτω διὰ παντὸς τὸ ἔλεος τῆς σῆς φιλανθρωπίας, τὸ ἄμετρον πλῆθος τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ εἰς τὸ βέλτιον ἀποκαθιστανέτω, πάντα τῆς γῆς ταύτης. Ἐνίσχυσον πάντας ἡμᾶς ἐργαζομένους τὰς ἐντολάς σου, βδελύττεσθαι τὰ πονηρὰ, καὶ μνημονεύειν τῆς σῆς ἀπείρου φιλανθρωπίας, δι' ἧς ἐῤῥύσθημεν τοῦ παρελθόντος λοιμοῦ, τῇ σῇ θείᾳ δυνάμει. Εἰρήνευσον ἡμῶν τὴν ζωὴν, στήριξον ἐν τῷ φόβῳ σου τοὺς πάντας· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαθέ. εὐλόγησον τῶν χειρῶν ἡμῶν τὰ ἔργα· χορήγησον πᾶσιν, ὡς τῶν καλῶν παροχεὺς, πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα αὐτῶν, ὁ εἰδὼς ἕκαστον, καὶ τὴν καρδίαν αὐτοῦ, οἶκον, καὶ τὴν ἔνδειαν αὐτοῦ· καὶ ἀξίωσον λυτρωθέντες πάντων τῶν δυσχολερῶν, λατρεύειν σοι καθαρῶς διὰ βίου σεμνοῦ, καὶ προσκυνεῖν εὐσεβῶς τὴν σὴν ἄμαχον παντοκρατορίαν· ἵνα καὶ διὰ τῶν παρελθουσῶν, καὶ διὰ τῶν ἐπιουσῶν χαρίτων καὶ δωρεῶν, μεθ' εἰλικρινοῦς καρδίας καὶ ψυχῆς εὐχαριστοῦντες, χρεωστικῶς τῇ σῇ φιλευσπλάγχνῳ δεσποτίᾳ, μεγαλύνωμεν διηνεκῶς, τὸ πανένδοξον καὶ μεγαλοπρεπὲς ὄνομά σου. Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, Χριστὲ ὁ Θεὸς, καὶ σοὶ τὴν δόξαν καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Τέλος τῆς παρούσης ἀκολουθίας καὶ τῷ Θεῷ δόξα.

## ΤΕΛΟΣ.